# ΝΟΕΜΒΡΙΟΣ Ι΄
# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ
# ΑΓΙΟΥ ΑΡΣΕΝΙΟΥ ΤΟΥ ΚΑΠΠΑΔΟΚΟΣ
# ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

*Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· Μακάριος ἀνήρ.*

ΙΕΡΕΥΣ: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

## Ψαλμὸς ργ´ (103)

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπᾶσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

ᾌσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα... Καὶ νῦν...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄).

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

ΔΙΑΚΟΝΟΣ: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καὶ μετὰ ἀπὸ κάθε αἴτηση]

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καί τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (……), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καί τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (Μονής Κώμης) ταύτης, πάσης πόλεως καὶ χώρας καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοὶ Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ.

Ἦχος πλ. α' Νη




## ΕΤΕΡΑ.



4. Κυ ρι ε ε ε λε η σο ο ον

5. Κυ ρι ε ε λε ε η σον

6. Κυ ρι ε ε λε ε ε η σον

7. Κυ ρι ε ε λε η σον

8. Κυ ρι ε ε λε η σον

9. Κυ ρι ε ε λε η σον

10. Κυ ρι ε ε λε ε η σον

11. Κυ ρι ε ε λε ε ε η σον

12. Σοι Κυ ρι ε

Εἰς δὲ τό· Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος β΄.

Ὅτε ἐκ τοῦ ξύλου.



ε

Κα τευ θυν θη η η τω ω η η προ σευ

χη η η η η η μου ως θυ μι ι α α α

α μα α ε ε ε νω ω ω πι ι ο ο ον σου

ε ε ε πα αρ σι ις των χει ρω ω ω ων

μου θυ σι ι α ε ε σπε ρι ι νη ει σα

κου σο ον μου Κυ υ υ υ υ υ υ υ υ ρι

ε

## Ἕτερον σὲ Σύντομο Στιχηραρικό Μέλος

### Ἦχος Δι

Κυ ρι ε ε κε κρα ξα προς σε ει σα α

κου σον μου ει σα κου σον μου Κυ ρι ε Κυ ρι


ε ε κε κρα ξα προς σε ει σα α κου σον μου
προ σχες τη φω νη της δε η η σε ως μου εν
τω κε κρα γε ναι με προς σε ει σα κου σον
μου Κυ ρι ι
Κα τευ θυν θη τω η προ ο σευ χη μου ως
θυ μι α μα ε νω ω πι ον σου ε παρ σις τω
ων χει ρων μου θυ σι α ε σπε ρι νη ει σα κου
σον μου Κυ ρι ι
Θου Κυ ρι ε φυ λα κην τω στο μα τι μου
και θυ υ ραν πε ρι ο χης πε ρι τα χει
λη μου

Μη εκ κλι νης την καρ δι αν μου εις λο
γους πο νη ρι ας του προ φα σι ζε σθαι προ
φα α σεις εν α μαρ τι ι αις

Συν αν θρω ποις ερ γα ζο με νοις την α νο
μι αν και ου μη συν δι α σω με τα των
ε κλε κτων αυ των

Παι δευ σει με δι και ος εν ε λε ει και ε
λεγ ξει με ε λε ον δε α μαρ τω λου μη λι πα
να τω την κε φα λη ην μου

Ο τι ε τι και η προ σευ χη μου εν
ταις ευ δο κι αις αυ των κα τε πο θη σαν


ε χο με να πε τρας οι κρι ται αυ των
Α κου σον ται τα ρη μα τα μου ο τι η
δυν θη σαν ω σει πα χος γης ερ ρα γη ε πι
της γης δι ε σκορ πι σθη τα ο στα αυ των
πα ρα τον α δην
Ο τι προς σε Κυ ρι ε Κυ ρι ε οι ο
φθαλ μοι μου ε πι σοι ηλ πι σα μην αν τα νε
λης την ψυ χη ην μου
Φυ λα ξον με α πο πα γι δος ης συ
νε στη σαν το μοι και α πο σκαν δα λων
των ερ γα ζο με ε νων την α νο μι ι

αν

Πε σουν ται εν α μφι βλη στρω αυ των οι α μαρ τω λοι κα τα μο νας ει μι ε γω ε ως αν πα ρελ θω

Φω νη μου προς Κυ ρι ον ε κε κρα ξα φω νη μου προς Κυ ρι ον ε δε η θην

Εκ χε ω ε νω πι ον αυ του την δε η σιν μου την θλι ψιν μου ε νω πι ον αυ του α παγ γε λω

Εν τω εκ λει πειν εξ ε μου το πνευ μα μου και συ ε εγ νως τας τρι βους μου

Εν ο δω ταυ τη η ε πο ρευ ο μην ε κρυ ψαν πα γι δα μοι

Κα τε νο ουν εις τα δε ξι α και ε πε βλε πον και ουκ ην ο ε πι γι νω σκων με

Α πω λε το φυ γη απ ε μου και ουκ ε ε στιν ο εκ ζη τω ων την ψυ χην μου

Ε κε κρα ξα προς σε Κυ ρι ε ει ει πα Συ ει η ελ πι ις μου με ρις μου ει εν γη ζων των

Προ ο σχες προς την δε η σιν μου ο


τι ε τα πει νω θην σφο δρα
Ρυ σαι με εκ των κα τα δι ω κον των
με ο τι ε κρα ται ω θη σαν υ περ ε
με
Ε ξα γα γε εκ φυ λα κης την ψυ χην
μου του ε ξο μο λο γη σα σθαι τω ο νο
μα τι ι σου
Ε με υ πο με νου σι δι και οι
ε ως ου αν τα πο δω ως μοι
Εκ βα θε ων ε κε κρα ξα σοι οι Κυ ρι
ε Κυ ρι ε ει σα κου σον της φω νη ης

μου

Γε νη θη τω τα ω τα σου προ σε χον τα

εις την φω νην της δε η σε ω ω ως

μου

Εἶτα ψάλλομεν Στιχηρὰ Προσόμοια.
Ἦχος β΄.
Ὅτε ἐκ τοῦ ξύλου.

Στίχος. Ε αν α νο μι ας πα ρα τη ρη

σης Κυ ρι ε Κυ ρι ε τις υ πο στη σε ται

ο τι πα ρα σοι ο ι λα σμος ε στιν

Ὤφθης, ὡς ἀστὴρ νεοφανής, ἐκ Καππαδοκίας ἐκλάμψας, ἐσχάτοις ἔτεσιν, Ὅσιε Ἀρσένιε, Ἀγγέλων σύσκηνε, καὶ ἀκτῖσι τοῦ βίου σου, ἡμᾶς καταυγάζεις, λύων τὴν σκοτόμαιναν, παθῶν καὶ θλίψεων· ὅθεν, τὴν ἁγίαν σου

μνήμην, ἐν ἀγαλλιάσει καρδίας, Πάτερ ἑορτάζομεν τιμῶντές σε.

Στίχος. Ε νε κεν του ο νο μα τος σου

υ πε μει να σε Κυ ρι ε υ πε μει

νεν η ψυ χη μου εις τον λο γον σου ηλ

πι σεν η ψυ χη μου ε πι τον Κυ ρι ον

Πόνοις, ἐγκρατείας τὴν ψυχήν, Πάτερ φρονημάτων γηΐνων, ὡς ἀπεκάθηρας, τότε ταύτην ὄργανον, τοῦ θείου Πνεύματος, ἀπετέλεσας Ὅσιε, καὶ θαυμάτων χάριν, ἔβλυσας Ἀρσένιε, εἰς σωτηρίαν πολλῶν· πάθη γὰρ ἰᾶσαι ποικίλα, καὶ δαιμόνων σμήνη διώκεις, ἐκ τῶν εὐλαβῶς προσερχομένων σοι.

Στίχος. Α πο φυ λα κης πρω ι ας με

χρι νυ κτος α πο φυ λα κης πρω ι ας

ελ πι σα τω Ισ ρα ηλ ε πι τον Κυ ρι

ον

Λόγῳ, καὶ σοφίᾳ θεϊκῇ, καὶ πνευματικῆς πολιτείας, τοῖς προτερήμασιν, Ὅσιε Ἀρσένιε, κατακοσμούμενος, ἐμφανῶς πᾶσιν ἔδειξας, τῆς θείας ἀγάπης, Πάτερ τὴν λαμπρότητα, καὶ τὰ χαρίσματα· τύπος γὰρ ζωῆς ἐναρέτου, ὤφθης καὶ τῶν θείων Πατέρων, ἀκριβὴς εἰκὼν καὶ ἰσοστάσιος.

Στίχος. Ο τι πα ρα τω Κυ ρι ω το

ε λε ος και πολ λη παρ αυ τω λυ τρω σις

και αυ τος λυ τρω σε ται τον Ι σρα ηλ εκ

πα σων των α νο μι ων αυ του

Πίστει, τοὺς προστρέχοντας εἰς σέ, πάσης ἀσθενείας καὶ βλάβης, θᾶττον ἀπήλλαττες, θείαις σου ἐντεύξεσι, πρὸς τὸν Σωτῆρα Χριστόν, φυτοκόμος δεικνύμενος, ἠθῶν ἐναρέτων, ὡς πᾶσιν αἰδέσιμος, καὶ πλήρης χάριτος, πάντων ἀτακτούντων τὸν βίον, Πάτερ ἐν Κυρίῳ

παιδεύων, καὶ καθοδηγῶν θεοπρεπέστατα.

Στίχος. Αι νει τε τον Κυ ρι ον παν τα
τα ε θνη ε παι νε σα τε Αυ τον
πα αν τες οι οι λα α οι

Κίον, διανύσας ἱερόν, ἴχνεσι τῶν πάλαι Ὁσίων, βαδίσας ἄριστα, Ὅσιε Ἀρσένιε, ἀπὸ νεότητος, τῶν θαυμάτων ἐπλούτησας, πλουσίαν τὴν χάριν· ὅθεν, αἱ προστρέχουσαι, ἐν τοῖς λειψάνοις σου, λύονται δεσμῶν ἀτεκνίας, καὶ μητέρες τέκνων ὁρῶνται, καὶ καρκίνου πάθος θεραπεύεται.

Στίχος. Ο τι ε κρα ται ω θη το ε
λε ος αυ του εφ η μας και η α λη θει
α του Κυ ρι ου με ε νει εις τον αι ω ω

να

Δόξης, ἀπολαύων θεϊκῆς, καὶ ἐν μετοχῇ μακαρίᾳ, Πάτερ θεούμενος, πρέσβευε Ἀρσένιε ὡς συμπαθέστατος, ὑπὲρ ταύτης ἑκάστοτε, τῆς Μάνδρας πλουτούσης, τὰ σεπτά σου λείψανα, ὡς δῶρον ἔνθεον, πᾶσι δὲ τοῖς σὲ εὐφημοῦσιν, αἴτει τῶν πταισμάτων τὴν λύσιν, καὶ παθῶν παντοίων ἀπολύτρωσιν.

Δόξα. Ἦχος πλ. β'.

Ἀνατεθεὶς τῷ Κυρίῳ, Αὐτῷ ἀμέμπτως ἠκολούθησας, ἀσκητικῇ πολιτείᾳ, Ἀρσένιε Ὅσιε· τὸ γὰρ θεῖον πῦρ δεξάμενος, ὃ βαλεῖν ἐπὶ τῆς γῆς, ἦλθεν ὁ Σωτήρ, ἐμφρόνως τῶν γηΐνων ἀπέστης, καὶ ἔξω κόσμου καὶ σαρκὸς ἐγένου, ζῶν οἷάπερ ἄγγελος· καὶ τῶν θείων δωρεῶν, ταμεῖον γεγονώς, θαυμάτων ὤφθης αὐτουργός, καὶ τύπος ἐναρέτων πράξεων, ἐν τῇ καθ' ἡμᾶς γενεᾷ. Διὸ τῶν πόνων τὰς ἀμοιβὰς δρεπόμενος, μὴ διαλίπῃς πρεσβεύων Πάτερ, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων, τὴν ἁγίαν μνήμην σου.

Ἦχος Πα.



Καὶ νῦν. Θεοτοκίον

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.


Καιαι νυ υ υν και α α ει και εις τους αι
αι ω ω ω νας των αι ω ω νων α α α α
μην
Τις μη μα κα ρι σει σε Πα να γι α α
α Πα αρ θε ε ε νε τις μη α νυ υ μνη σει
ει σου τον α λο ο ο χε ε ευ τον το ο ο
ο κον ο γαρ α χρο νως εκ Πα τρος εκ
λα αμ ψας Υι ος μο ο νο γε ε νης ο αυ τος
εκ σου ου τη ς α α α γνη η ης προ ο η ηλ θεν
α φρα α α στως σα αρ κω ω ω θεις φυ σει
Θε ε ε ο ο ος υ πα α αρ χων και φυ σει


γε νο ο με ε νος α αν θρω ω ω πος δι
ι η η η η μας ουκ εις δυ α α δα α
προ σω ω ω ω πων τε μνο ο με ε ε ε νος αλλ
εν δυ α α δι ι φυ υ σε ε ων α συγ
χυ υ τως γνω ω ω ρι ζο ο με ε ε ε νος
αυ το ον ι ι κε τε ευ ε σε μνη πα
αμ μα κα α α α ρι ι ι ι στε ε λε η
θη η η η η η ναι τα ας ψυ χα α ας
η η η η μω ω ω ω ων

## Εἴσοδος, Φῶς ἱλαρόν.

Ἦχος Δι






Φῶς ἱλαρὸν ἁγίας δόξης, ἀθανάτου Πατρός, οὐρανίου, ἁγίου, μάκαρος, Ἰησοῦ Χριστέ, ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς, ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς, Διὸ ὁ κόσμος σὲ δοξάζει.

Ἑσπέρας προκείμενον.

ΤΑ ΠΡΟΚΕΙΜΕΝΑ ΚΑΤΑ ΤΟΝ ΚΑΘΟΡΙΣΜΕΝΟΝ ΗΧΟΝ

Προκείμενον.
Τῇ Κυριακῇ ἑσπέρας.

Ἦχος πλ. α' Νη

δου δη ευ λο γει ει τε τον Κυ ρι ον παν τες οι δου ου λοι Κυ ρι ου (Δίς)

**Στίχ.** **Οἱ** ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Τὸ τρίτον. δου δη ευ λο γει ει τε τον Κυ ρι ι ον παν τες οι δου ου λοι Κυ ρι ι ου ου ου ου ου ου ου ου

Προκείμενον.
Τῇ Δευτέρᾳ ἑσπέρας.
Ἦχος δ'.

Ἦχος Δι

Κυ υ ρι ος ει σα κου σε ται μου εν τω κε κρα γε ε ναι με προς αυ το ον (Δίς)

Στίχ. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεός τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.

Τὸ τρίτον. Κυ ρι ος ει σα κου σε ται αι μου εν τω κε κρα γε ναι με προς αυ το ο ον

Προκείμενον.
Τῇ Τρίτῃ ἑσπέρας.
Ἦχος Πα

Το ε λε ος σου Κυ ρι ε κα τα δι ω
ξει με π πα σας τας η με ρας της ζω ης μου
(Δὶς)

Στίχ: Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Τὸ τρίτον: Το ε λε ος σου Κυ ρι ε κα
τα δι ω ξει με π πα σας τας η με ρας της ζω
η ης μου ου ου

## Προκείμενον.
## Τῇ Τετάρτῃ ἑσπέρας.
## Ἦχος πλ. δ' Κε

Ο Θε ος εν τω ο νο μα τι σου σω σον
με και εν τη δυ να μει σου κρι νει ει ει εις
με (Δίς)

Στίχ. Ὁ Θεός εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.

Τὸ τρίτον. Ο Θε ος εν τω ο νο μα τι
σου σω σον με και εν τη δυ να μει σου κρι
νει ει εις με ε ε

## Προκείμενον.
## Τῇ Πέμπτῃ ἑσπέρας.

Ἦχος λ π Βου

Η βο η θει α α μου πα ρα Κυ ρι ου του ποι η σαν τος τον ου ρα νο ον και την γην (Δίς)

Στίχ. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τὸ τρίτον. Η βο η θει α α μου πα ρα Κυ ρι ου του ποι η σαν τος τον ου ρα νο ον και την γη η ην

## Προκείμενον.
## Τῇ Παρασκευῇ ἑσπέρας.

Ἦχος Βαρύς

Ο Θε ος αν τι λη πτωρ μου ει ει το ε λε ο ος σου προ φθα α σει με (Δίς)

**Στίχ.** Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ᾽ ἐμὲ λύτρωσαί με.

**Τὸ τρίτον.** Ο Θε ος αν τι λη η πτωρ μου ει ει ει το ε λε ο ος σου προ φθα α σει με ε ε

## Ἀναγνώσματα.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. γ´ 1)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(Κεφ. ζ΄.7)

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. ε´ 15)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει

θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἴπωμεν πάντες ἐξ ὅλης της ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε ἐλέησον (ἅπαξ).

Κύριε παντοκράτορ ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον (ἅπαξ).

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν , καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων του Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Κύριε ἐλέησον (ἐκ τρίτου)

Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Κύριε ἐλέησον (ἐκ τρίτου)

Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Κύριε ἐλέησον (ἅπαξ)

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν , τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης:

Ἀμήν. Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός

σου ἐφ᾿ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε. δίδαξόν με τὰ δικαιώματά σου. `Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος:

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη της ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Σοί, Κύριε.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπί τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας; οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργίας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων πονηρῶν.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰς τὴν Λιτήν, Στιχηρὸν Ἰδιόμελα.

Λιτή. Ἦχος α΄.

Τῷ φωτὶ τῶν ἀρετῶν, καταλαμπρύνας τὸν νοῦν, ὡς υἱὸς φωτὸς ἐπορεύθης, τὴν τρίβον τῆς ζωῆς, Ἀρσένιε Ὅσιε· ἐν τῷ νόμῳ γὰρ τοῦ Θεοῦ, ἡμέρας καὶ νυκτὸς μελετήσας, τοῦ Ἁγίου Πνεύματος, τοὺς καρποὺς ἐξήνεγκας· δι᾽ ὧν τῶν μὲν πιστῶν τὰς διανοίας εὐφραίνεις, τῆς ἐν Χριστῷ δὲ οἰκειώσεως, τὰς χάριτας ἐκφαίνεις, καὶ πάντας διεγείρεις, βοᾷν τῷ Σωτῆρι· Κύριε, δόξα Σοι.

Ἦχος β΄.

Ἀσκητικῶς ἀγωνιζόμενος, ἐν ἐγκρατείᾳ καὶ προσευχῇ καὶ συντόνοις ἀγρυπνίαις, τὴν σάρκα ἐνέκρωσας, Ὅσιε Πάτερ· καὶ θείαις ἀναβάσεσι, Θεῷ ἀναγόμενος, τὴν ζωοποιὸν ἐνέργειαν, περιεβάλου ὡς ἱμάτιον· τοὺς δερματίνους γὰρ χιτῶνας, νουνεχῶς ἀπεξεδύσω· καὶ τῆς ἐν σοὶ σκηνούσης χάριτος, προσεφαπλῶν τὰς δωρεάς, νοσοῦντας θεραπεύεις, καὶ τὴν θείαν χρηστότητα, πᾶσιν ὑποδηλῶν, τῷ Κυρίῳ προσάγεις, τοὺς προσιόντας σοι Ἀρσένιε· διὸ τὴν ἁγίαν σου μνήμην ἑορτάζομεν.

Ἦχος γ'.

Ὡς ἄστρον νεόφωτον, τῇ καθαρωτάτῃ ἀσκήσει σου, ἡμῖν ἀνατέταλκας, θεοφόρε Ἀρσένιε· τῶν γὰρ πάλαι Ὁσίων, ἀναζωγραφήσας τὰς ἀρετάς, τῆς κατ' ἐκείνου δόξης τετύχηκας, καὶ τῶν ἴσων βραβείων, παρὰ Θεοῦ ἠξίωσαι· ὁ γὰρ βίος σου ἄμεμπτος, καὶ ἡ κοίμησις ὁσία, ἐναντίον Κυρίου γέγονεν· ὅτι πάντα τὰ σὰ αὐτῷ ἀνέθου, παρ' οὗ καὶ τὸν στέφανον, τῆς ἀφθαρσίας εἴληφας, πρεσβεύων ἀπαύστως ὑπὲρ τῶν τιμώντων σε.

Ἦχος δ'.

Τὴν τοῦ Σωτῆρος νέκρωσιν, ἐνδεδυμένος Πάτερ, ὡς ξένος καὶ πάροικος, ἐπολιτεύσω ἐν κόσμῳ, τῆς σαρκὸς πρόνοιαν μηδόλως ποιούμενος· καὶ τῶν ὑπερκοσμίων ἀγαθῶν, τὴν εἰκόνα προορώμενος, τῆς μελλούσης ζωῆς πᾶσι προφαίνεις τὸν θησαυρόν, ἐν ταπεινώσει ἀνύων τὸν βίον, καὶ πολλῇ ἀκτησίᾳ, καὶ πλούτῳ ἀγάπης· ἀλλ' ὦ Ἀρσένιε μακάριε, ἀδιαλείπτως πρέσβευε, σώζεσθαι τοὺς σὲ μακαρίζοντας.

Δόξα. Ὁ αὐτός.

Τὸν ἐν Ὁσίοις Ὅσιον, καὶ ἐν Ἁγίοις νεοφανῆ ἀστέρα, Ἀρσένιον τὸν θεῖον, τῶν εὐσεβούντων τὰ συστήματα, ὕμνοις καὶ ᾠδαῖς εὐφημήσωμεν· δοξασθεὶς γὰρ τῷ Πνεύματι, Καππαδοκῶν τὴν χθόνα ἡγίασεν, ἀσκητικοῖς ἱδρῶσι· καὶ τοὺς πιστοὺς στηρίξας, θαυμάτων δυνάμεσι, τὰ ἄνω φρονεῖν καὶ ζητεῖν, πάντας παιδεύει, οἰκείῳ ὑποδείγματι, αἰτούμενος ἡμῖν, πταισμάτων ἄφεσιν, καὶ τὸ θεῖον ἔλεος.

Καὶ νῦν. Θεοτοκίον

Νεῦσον παρακλήσει σῶν οἰκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα. Μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι, σπεῦσον εἰς ἱκεσίαν, τῶν σοὶ πιστῶς βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Πλαγίου Τετάρτου.

Ἦχος Νη



Πα ρα σχου Κυ ρι ε

Υ περ α γι α Θε ο το κε σω σον η μας

Σοι οι οι οι οι οι οι οι οι οι Κυ υ υ υ ρι ε

Α μην

Ἦχος πλ. δ΄ Ἐναρμόνιος

Κυ ρι ε ε ε λε ε η σον

Κυ ρι ε ε λε η σον

Κυ υ ρι ε ε λε η η σον

Κυ ρι ε ε ε λε ε η η σον


Κυ ρι ε ε λε ε ε η σον
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ ρι ε

## Εἰς τὴν Ἀρτοκλασίαν

### Ἐπιλογές παρά διαφόρων Διδασκάλων




## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ ΑΓΙΟΡΕΙΤΙΚΟ ΗΧΟΣ ΠΛ. Α΄



## Θεοτόκε Παρθένε

Ἦχος πλ. α' Κε



ων

Πλου σι οι ε πτω χευ σαν και ε πει

να σαν οι δε εκ ζη τουν τες τον Κυ ρι ον

ουκ ε λατ τω ω θη σον ται παν το ος

α γα θου

Το τέλος τοῦ τρίτου. παν το ος α γα

θου ου ου ου ου ου ου

Εἰς τὸν Στίχον.
Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.

Χαίροις, ὁ ἐν ἐσχάτοις καιροῖς, βίον ἀνύσας ἀληθῶς τὸν ἰσάγγελον, ἀσκήσει συντονωτάτῃ, καὶ ἐγκρατείᾳ πολλῇ, ὡς Χριστοῦ θεράπων ἐνθεώτατος, Ἀρσένιε Ὅσιε, ἀρετῶν ὑποτύπωσις, τῆς ἀπαθείας θεοκίνητον ὄργανον, σκεῦος εὔχρηστον, ἱερῶν ἀναβάσεων· δένδρον ὃ ἄρτι ἤνεγκε, τοῖς ὄμβροις τῆς χάριτος, καρπὸν ζωῆς αἰωνίου, καὶ γλυκασμὸν τὸν οὐράνιον· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ.: Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Χαίροις, Καππαδοκίας βλαστός, τῶν ἀπ' αἰῶνος Ἀσκητῶν ἰσοστάσιος, ἀγάπης θείας ταμεῖον, τῆς εὐποιΐας πυρσός, καταπονουμένων ἀνακούφισις, Ἀρσένιε Ὅσιε, ὁ τῶν θαυμάτων δυνάμεσι, τοὺς ἐν ἀνάγκαις, καὶ ἐν πόνοις καὶ πάθεσιν, ἰασάμενος, τῇ δοθείσῃ σοι χάριτι· ὅθεν σὲ μακαρίζομεν, ὁσίως βιώσαντα, καὶ τῶν σεπτῶν σου λειψάνων, περικυκλοῦμεν τὴν λάρνακα, ἀφ' ἧς πᾶσι δίδως, εὐφροσύνην καὶ εἰρήνην, καὶ θεῖον ἔλεος.

Στίχ.: Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς Αὐτοῦ θελήσει σφόδρα

Χαίροις, ὁ θεοφόρος Πατήρ, ὁ ἐνθεώτατος καὶ πλήρης χρηστότητος, δι᾽ ἔργων τῶν ἐναρέτων, ἀναφανεὶς ἐπὶ γῆς, καὶ θαυμάτων χάριν κομισάμενος· πολλοὺς γὰρ ἰάτρευσας, τρυχομένους τοῖς πάθεσι, καὶ δαιμονῶντας, ἐλυτρώσω τῆς μάστιγος, τῇ ἐντεύξει σου, πρὸς Χριστὸν τὸν φιλάνθρωπον· ὅθεν καὶ τὰ ἐσόμενα, προλέγων Ἀρσένιε, πρὸς οὐρανίους σκηνώσεις, χαρμονικῶς ἀνελήλυθας, Χριστὸν ἱκετεύων, ὑπὲρ πάντων τῶν τελούντων, Πάτερ τὴν μνήμην σου.

Ἦχος Νη




Δόξα. Ἦχος πλ. δ'.

Ἀσκητικοῖς σου σκάμμασι, τοῦ Παρακλήτου τὸ φῶς δεξάμενος, ὡς ἑωσφόρος νεόφωτος, ἡμῖν ὤφθης Ἀρσένιε· ὑπεράνω γὰρ φθαρτῶν, ἐν σαρκὶ ἐδείχθης, ἀγάπῃ θείᾳ πτερούμενος· καὶ τὸν ἐν Ἁγίοις Ἅγιον, ἁγιοπρεπῶς δοξάσας, μετὰ Ἁγίων συνηριθμήθης, καὶ τῆς ζωῆς τῷ ξύλῳ ἀποκατέστης. Καὶ νῦν τὴν δόξαν θεωρῶν, τοῦ Βασιλέως Χριστοῦ, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν...

Θεοτοκίον

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.



νυν τας η μων ι κε σι ι ας προσ δε χο

Δ Ν Μ

με ε νη δυ σω ω πει σω θη ναι παν τας η μα α

α ας

ΙΕΡΕΥΣ: Νῦν ἀπολύεις τον δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γʹ).

Δόξα Πατρὶ... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν,

Ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα Πατρὶ... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

ὁ ἱερεύς:

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

## Ἀπολυτίκιον.
## Ἦχος γ΄.
## Θείας πίστεως.

Ῥίον ἔνθεον, καλῶς ἀνύσας, σκεῦος τίμιον, τοῦ Παρακλήτου, ἀνεδείχθης θεοφόρε Ἀρσένιε, καὶ τῶν θαυμάτων τὴν χάριν δεξάμενος, πᾶσι παρέχεις ταχεῖαν βοήθειαν, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

## Ἀπολυτίκιον. Ἦχος γ΄.
## Θείας πίστεως.






Δόξα... (Τὸ ὡς ἄνω)

# Καὶ νῦν...

*Θεοτοκίον*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Γ Π

Και νυν και α ει και εις τους αι ω

νας των αι ω νων α μην π

*Θεοτοκίον.* Ν Γ

π Σε την με σι τευ σα σαν την σω

τη ρι αν του γε ε νους η μων χ α νυ μνου

Π Γ

μεν Θε ο το ο κε Παρ θε ε νε π εν τη σαρ κι

γαρ τη εκ σου προ σλη φθει ση ο Υι ος σου και

Π

Θε ος η μων χ το δι α Σταυ ρου κα τα δε ξα


α με νος πα α θος
ε λυ τρω σα τω η μας
εκ φθο ρα ας ως φι λαν θρω πο ο ο ος

ΙΕΡΕΥΣ: Σοφία!

ΧΟΡΟΣ: Εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν , πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης: Ἀμήν. Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

ΙΕΡΕΥΣ: Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης: Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ.

ΙΕΡΕΥΣ: Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Ἀναγνώστης: Δόξα... Καὶ νῦν... , Κύριε ἐλέησον (γ΄), Πάτερ ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ: Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ μητρός, ἧς τὰ Εἰσόδια

ἑορτάζομεν, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τὸν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

ΙΕΡΕΥΣ: Δι΄ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ Χορός: Ἀμήν.

## Τόν Εὐλογοῦντα...

Τον ευ λο γου ου ουν τα και α γι ι
α ζον τα η μας Κυ ρι ε φυ λατ τε
ει ει εις πολ λα ε ε τη η η

## Τὸν Δεσπότην καί Ἀρχιερέα

Τον Δε σπο την και Αρ χι ε ε ρε
α η μων Κυ ρι ε φυ λατ τε εις πολ
λα ε τη Δε σπο τα εις πολ λα
ε τη Δε σπο τα ει ει εις πο ολ λα ε τη
Δε ε σπο τα α α

*Ἀπόλυσις.*

Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.

Μεγαλυνάριον.

Χαίροις τῶν Ὁσίων ὁ μιμητής, καὶ Καππαδοκίας ἐγκαλλώπισμα ἱερόν· χαίροις ὁ παρέχων, ἑκάστῳ θείαν χάριν, ὡς δοξασθεὶς θεόθεν, Πάτερ Ἀρσένιε.